## Σχόλια σὺν θεῷ εἰς τὸν Γοργίαν ἀπὸ φωνῆς Ὀλυμπιοδώρου τοῦ μεγάλου φιλοσόφου.

### ⟨Προοίμιον.⟩

p. 447a. *Πολέμου καὶ μάχης φασὶ χρῆναι, ὦ Σώκρατες.*

Ἰστέον ὅτι ὁ διάλογος περιέχει διαλεγόμενα πρόσωπα, καὶ 1
διὰ τοῦτο καὶ οἱ λόγοι Πλάτωνος διάλογοι προσαγορεύονται ὡς ἔχοντες πρόσωπα· καὶ ἄξιον ζητῆσαι διὰ ποίαν αἰτίαν, μεμφόμενος ἐν τῇ Πολιτείᾳ τοὺς κωμῳδίαν ἐπαγγελλομένους καὶ τραγῳδίαν καὶ ἐκβάλλων αὐτοὺς διὰ τὸ τοὺς μὲν τραγικοὺς αὔξειν τὸ ἐν ἡμῖν λυπηρόν, τοὺς δὲ κωμῳδιοποιοὺς τὸ ἐν ἡμῖν φιλήδονον, αὐτὸς μιμεῖται αὐτοὺς καὶ εἰσφέρει πρόσωπα. φαμὲν ὅτι εἰ τὴν Πολιτείαν Πλάτωνος ἐδιώκομεν, εἶχον ἂν καὶ πληγαῖς ὁμιλεῖν οἱ κακοὺς εἰσηγούμενοι λόγους· ἐπειδὴ δὲ οὐχ οὕτως ζῶμεν, εἰσφέρονται μὲν πρόσωπα, οὐκ ἀνέλεγκτα δὲ ὡς παρ' ἐκείνοις, ἀλλ' ἐλεγχόμενα καὶ ἐπιρραπιζόμενα. μέμφεται γὰρ τῷ Γοργίᾳ καὶ τῷ Πώλῳ καὶ τῷ Καλλικλεῖ καὶ τῷ Θρασυμάχῳ ὡς ἀναιδεῖ καὶ μηδέποτε ἐρυθριῶντι, ἐπαινεῖ δὲ τοὺς χρηστοὺς καὶ ἐμφιλοσόφως ζῶντας. ταῦτα μὲν οὖν περὶ τούτου.

δεῖ δὲ ζητῆσαι πρὸ τοῦ διαλόγου πρῶτον μὲν τὴν δραμα- 2
τικὴν διασκευὴν τοῦ διαλόγου, δεύτερον δὲ τὸν σκοπόν, τρίτον τὴν διαίρεσιν αὐτοῦ, τέταρτον καὶ τὰ πρόσωπα καὶ τὴν ἀναλογίαν τῶν προσώπων, πέμπτον τὸ ὑπὸ τῶν πολλῶν ζητούμενον καὶ οὐκ ἄξιον λόγου οὐδὲ ἠπορημένον παρὰ τοῖς παλαιοτέροις, διὰ ποίαν αἰτίαν ὁ Πλάτων περὶ Γοργίου γράφει μὴ ὄντος ἐν τοῖς αὐτοῖς αὐτῷ χρόνοις ἀλλὰ πολλῷ διαφέροντος.

---

8 Plat. reip. II 380a 17 Plat. reip. I 343d

---

2 mg Ὀλύμπιον δώρημα πεμφθεὶς τῷ βίῳ χρυσῆν Ἀλεξανδρεῖαν ἔσχε πάτριαν. mg. m. rec. Γοργίας ἢ περὶ ῥητορικῆς 7 mg. ἀπορία 12 mg. λύσις 20 mg. τὰ πρὸ τοῦ διαλόγου ζητούμενα mg. α' 21 mg. β'. γ' 22 mg. δ' 23 mg. ε'



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408547804/9 UNIVERSITÄT LEIPZIG